σέως ἐντολαὶ) οὐ μακρὰν εἶναι ἀπεφήνατο τὸν ἐν ταύ-
ταις βεβιωκότα, καὶ τιμὴν αὐταῖς νέμειν εἰδότα, τῆς
βασιλείας τῶν οὐρανῶν; Ἀλλὰ γὰρ ὁ Ζαχαρίας καὶ ἡ
Ἐλισάβετ, νόμῳ τὸν βίον ἰθύνοντες, ὁρᾶν ἔνεστιν ὅπως ὑπὸ
τῆς ἱερολογίας δίκαιοί τε ἀνακηρύττονται: καὶ οὐχ ἁπλῶς
ἀλλὰ καὶ τὴν δικαιοσύνην αὐτῶν ἔχουσι παῤῥησιαζομέ-
νην ἐνώπιον τοῦ θεοῦ. Ὅπερ οὐκ ἐξ ἀνθρωπίνης δόξης
τὸ δίκαιον διδάσκει λαβεῖν, ἀλλὰ θείας κρίσεως κό-
σμον ἑαυτοῖς τὴν δικαιοσύνην περιβαλεῖν. Καὶ τί δὲ
πράττοντες ταύτην εἶχον τὴν χάριν, κοσμοῦσαν αὐ-
τούς; » ἐν πάσαις, φησὶ, ταῖς ἐντολαῖς καὶ δικαιώμα-
» σι τοῦ κυρίου πορευόμενοι ἄμεμπτοι. Ὅταν οὖν τὰ ἱερο-
λόγια δικαίους καὶ ἀμέμπτους θείᾳ κρίσει τοὺς ἐνασκου-
μένους ταῖς Μωσαϊκαῖς ἀναγραφῇ ἐντολαῖς, σὺ δὲ
πονηρίας ὑπηρέτας τούτους ἐξυβρίζειν τολμᾷς: πῶς
οὐ κατασπεύδῃ μὲν μετὰ τῶν ἄλλων σαυτοῦ καὶ αὐ-
τὴν τὴν ἐπωνυμίαν Χριστοῦ; Πῶς δ' οὐδὲν ἔλαττον,
εἰ μὴ καὶ μᾶλλον, κατ' αὐτῆς τῆς χάριτος, ἥπερ τοῦ
νόμου, κατεξανίστασαι, καὶ τὰ βλάσφημα χείλη κινεῖς
καὶ ταῦτα τῇ γλώσσῃ προσσπώμενος προσκυνεῖν,
καὶ δι' ἀσεβάσματος ἄγειν αὐτήν; Ἡ δὲ τοῦ Γαβριὴλ
θεόθεν ἀποστολὴ, καὶ ὁ τῆς ἀσπόρου καὶ παρθενικῆς
γαστρὸς ἁγιασμὸς, καὶ τὸ ἀναῤῥηθῆναι πατέρα τὸν
Δαβὶδ τοῦ ἀγαθοῦ δημιουργοῦ τῶν ὅλων θεοῦ, ἀλλὰ
καὶ τὸν ἐκείνου βασιλικὸν θρόνον δι' αἰῶνος ἐγχειρί-
ζεσθαι τὸν τῶν ὅλων βασιλέα. Καὶ ἁπλῶς τὸ σάρκα
λαβεῖν, καὶ ἄνθρωπον χρηματίσαι τὸν ἀγαθὸν υἱὸν
τοῦ